ESSENTIALS IN GREEK. Syllabus (1991) by Thomas V. Taylor



Here is another page of Greek lifted from Colwell/Tune.

1. Circle (or mark) every verb you can clearly see and identify it so far as the properties of the verb are concerned. If you see a word and think it to be a verb but cannot identify it...ask about it in class.

2. Underline every article and state number and case as well as gender.

3. Mark every pronoun and offer an idea as to how it is used (Relative, etc.)

I am not asking you to turn this in but I am asking you to do it and we will look at it in class for a bit.

Καὶ ὁ Ἰησοῦς λαλεῖ τοῖς μαθηταῖς αὐτοῦ· ὑμεῖς οὐκ ἀκούετε τοῦ πατρός μου. Ὁ πατήρ μού ἐστιν ὁ θεὸς τοῦ Ἰσραήλ, ὁ ποιῶν τοὺς οὐρανοὺς καὶ τὴν γῆν. Ἐγώ εἰμι ὁ υἱὸς τοῦ ποιοῦντος τοὺς οὐρανοὺς καὶ τὴν γῆν. Δίδοτε δόξαν τῷ ποιοῦντι τοὺς οὐρανοὺς καὶ τὴν γῆν. Γινώσκετε γὰρ τὸν ποιοῦντα τοὺς οὐρανοὺς καὶ τὴν γῆν. Καὶ ἔλεγεν· ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.

Καὶ ὁ Ἰησοῦς λέγει αὐτοῖς· ἀκούετε καὶ πιστεύετε. Πᾶς ὁ πιστεύων ἔρχεται πρός με, τὸν υἱὸν τοῦ ἀνθρώπου, καὶ μαθητής μου ἔσται. Πᾶς μαθητὴς ὃς ἔρχεται πρός με ἔχει τὸ πνεῦμα τοῦ θεοῦ. Τὸ πνεῦμα λαλήσει πάντα ἃ ἀκούει παρὰ τοῦ θεοῦ. Καὶ ὁ Ἰησοῦς ἔλεγεν· ὃς ἔχει ὦτα ἀκούειν ἀκουέτω.

Καὶ ὁ λόγος ἐγένετο ἄνθρωπος. Καὶ ὁ θεὸς εἶπεν ἐκείνῳ· υἱός μου εἶ σύ. Τοῦτον τὸν υἱὸν αὐτοῦ ὁ θεὸς ἔδωκεν τοῖς ἀνθρώποις. Ὁ γὰρ πατὴρ τοῦ κυρίου ἡμῶν ἐστιν ὁ θεὸς τοῦ Ἰσραὴλ ὃς ἐποίησεν τοὺς οὐρανοὺς καὶ τὴν γῆν.

Καὶ ἔρχεται πρὸς τὸν Ἰησοῦν ἀνήρ τις ἐκ τῆς πόλεως ἔχων δαιμόνια, καὶ λέγει τῷ Ἰησοῦ· τί ἐμοὶ καὶ σοί, Ἰησοῦ υἱὲ τοῦ θεοῦ; Λέγει δὲ αὐτῷ ὁ Ἰησοῦς· τί σοι ὄνομά ἐστιν; Ἀποκρίνεται δέ· λεγιὼν ὄνομά μοι, ὅτι πολλοί ἐσμεν.

Καὶ ἔρχονται πρὸς τὸν κύριον ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ. Καὶ λέγει τις αὐτῷ· ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἐληλύθασι πρὸς σέ. Αὐτὸς δὲ ἀποκρίνεται· τίς ἐστιν ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί; Ὁ πιστεύων ἐν ἐμοί, οὗτος ἀδελφός μου καὶ μήτηρ ἐστίν. Καὶ ἔλεγεν· ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.

Ἦλθεν ἄνθρωπος παρὰ τοῦ θεοῦ εἰς τὴν γῆν τῆς Ἰουδαίας· ὄνομα αὐτῷ Ἰωάνης. Οὗτος εἶπεν· ἐγὼ ἔρχομαι βαπτίζειν τοὺς πιστεύοντας ἐν τῷ υἱῷ καὶ ἐν τῷ πατρὶ ὅς ἐστιν ἐν οὐρανῷ. Πᾶς ὁ πιστεύων γίνεται υἱὸς τοῦ θεοῦ. Ἀλλὰ οἱ Ἰουδαῖοι ἀπεκρίθησαν· τίς εἶ σύ; Οὐ πιστεύομέν σοι· ἀλλά τινες ἐπίστευσαν καὶ ἐβαπτίζοντο.

http://www.taylorlib.ibri.org/Taylor-Writings/1991-GreekEssentials/README.htm